www.tezaurliturgic.ro

ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

ΤΟΥ ΑΡΤΙΦΑΝΩΣ ΕΝ ΤΩ ΑΓΙΩ ΟΡΕΙ

ΕΚΛΑΜΨΑΝΤΟΣ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ

ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΠΑΪΣΙΟΥ ΤΟΥ ΝΕΟΥ

*
*
* * * * *
*
*

Ἀθῆναι 1995

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΑΡΤΙΦΑΝΩΣ ΕΝ ΤΩ ΑΓΙΩ ΟΡΕΙ ΕΚΛΑΜΨΑΝΤΟΣ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΠΑΪΣΙΟΥ ΤΟΥ ΝΕΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΒ´ Ἰουλίου. (+ 1886 )**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια.**

**********************************************

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

Ἀρτιφανῶς τὸν ἀσκήσει,
στεῤῥᾷ ἐκλάμψαντα,
ἐν τῷ Ἁγίῳ Ὄρει,
καὶ φωτίσαντα πλήθη,
αὐτοῦ ταῖς νουθεσίαις ταῖς πατρικαῖς,
ἐπαινέσωμεν κράζοντες·
ὑπὲρ ἡμῶν ἐκδυσώπει τὸν Λυτρωτήν,
ἀσκητὰ σοφὲ Παΐσιε.

Τῶν Καππαδόκων τὸ κλέος,
ἀζύγων καύχημα,
μοναζουσῶν προστάτην,
καὶ πιστῶν ποδηγέτην,
πρὸς θέωσιν ἐν ὕμνοις μελῳδικοῖς,
ἀρετῶν ὡς ἀπαύγασμα,
καὶ μαργαρίτην τῆς πίστεως τιμαλφῆ,
ἐπαινέσωμεν Παΐσιον.

Τὸν ἐκ νεότητος κόσμου,
τερπνὰ ὡς σκύβαλα,
σποδόν τε καὶ ἀτμίδα,
λογιζόμενον πάντες,

Παΐσιον τὸν νέον ἐν ἀσκηταῖς,
θεοφόροις τιμήσωμεν, ἀναφωνοῦντες·
τὰ ἄῤῥευστα σαῖς λιταῖς,
ἀγαπᾶν ἡμᾶς ἀξίωσον.

Τρωθεὶς Χριστοῦ τῇ ἀγάπῃ,
ἐκ βρέφους Ὅσιε,
ἀγάπης ὤφθης σκεῦος,
διαυγὲς ἄχρι τέλους,
Παΐσιε κουφίζον τοὺς εὐλαβῶς,
σῇ καλύβῃ προστρέχοντας,
καὶ ἀναψῦχον τοὺς στένοντας ἐν σκιᾷ,
ζοφερᾷ παντοίων θλίψεων.

**Δόξα. Ἦχος πλ δ΄.**

Τῶν φιλοσίων τὰ πλήθη,
καὶ τῶν ἐν Ἄθω ἀσκουμένων ἡ ὁμήγυρις,
συνέλθωμεν σήμερον ἐπὶ τῇ μνήμῃ,
τοῦ ἀρτιφανοῦς φωστῆρος τῆς πίστεως, Παϊσίου,
ἀξίως αὐτοῦ ἀνευφημῆσαι τὰ σκάμματα·
οὗτος γὰρ ὡς τῶν πεπλανημένων φέγγος,
τῶν μονοτρόπων ἀλείπτης,
καὶ τῶν χειμαζομένων ἀκέστωρ,
ἀχλὺν δυσθυμίας ἁπάντων ἐσκέδασε,
τῇ του Φωτοδότου Χριστοῦ καὶ Σωτῆρος τοῦ γένους ἡμῶν χάριτι·
καὶ νῦν σὺν ἀγγέλων χορείαις,
καὶ ὁσίων τοῖς τάγμασιν ἀγαλλιώμενος,
τῷ Παμβασιλεῖ τῆς δόξης πρεσβεύει,
διδόναι τοῖς αὐτοῦ, τὴν μνήμην γεραίρουσι,
κατ᾽ ἄμφω ὑγίειαν καὶ εἰρήνην ἀστασίαστον.

**Καὶ νῦν. Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Δεῦτε Ἀθωνιτών,
οἱ δῆμοι συνελθόντες,

ἐν ὕμνοις ἐπαξίως,
τὴν μνήμην Παϊσίου,
τιμήσωμεν τοῦ μάκαρος.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Λάμψας ἀρτιφανώς,
ὡς ἄστρον φωτοβόλον,
ἐφώτισας καρδίας,
ἐζοφωμένας πάτερ,
θεοφίλε Παΐσιε.

**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Τάφον σου τὸν σεπτόν,
ὡς κρήνην ἰαμάτων,
Μονὴ τοῦ Θεολόγου,
κατέχει καὶ σὸν πνεῦμα,
οἱ οὐρανοὶ Παΐσιε.

**Δόξα. Τριαδικόν.**

Σῷζε ἀπὸ παντός,
κακοῦ τοὺς Σὲ ὑμνούντας,
θεότης Τρισαγία,
λιταῖς τοῦ Παϊσίου,
τοῦ συναγαλλομένου Σοι.

**Καὶ νῦν. Θεοτοκίον.**

Ῥυσαὶ Χριστιανούς,
ἐκ τῆς ἐχθροῦ ἀπάτης,
ὁμοῦ σὺν Παϊσίῳ,
τῷ ἐν τῷ σῷ λειμῶνι,
ἀσκήσαντι Θεόνυμφε.

Νῦν ἀπολύεις.....**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

*****************************************************************************

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α´. Πανεύφημοι μάρτυρες.**

Ἐμμένων ἐν τῇ ὑπακοῇ,
φυλακῇ αἰσθήσεων,
καὶ προσευχὴ ἐκ νεότητος,
σαρκὸς χαμαίζηλα,
πάθη ἀπηρνήσω,
καὶ πρὸς ὕψος ἄῤῥητον,
ἀνῆλθες ἀπαθείας καὶ νήψεως,
σοφὲ Παΐσιε·
ὅθεν πάντες σοῦ γεραίρομεν,
τοὺς ἀόκνους,
ἀγῶνας πρὸς θέωσιν.

Ναὸν σεαυτὸν ποιῶν λαμπρόν,
τοῦ ἁγίου Πνεύματος,
καὶ εὐωδία γενόμενος,
Χριστοῦ Παΐσιε,
τοὺς τῇ σῇ καλύβῃ,
προσιόντας ηὔφρανας,
καὶ ἅπαντας ἁγίαζας Ὅσιε,
τοὺς ἐκζητούντάς σου,
εὐλογίαν πολυκύμαντον,
ἵνα βίου,
ἀνύσωσι πέλαγος.

Σοφοῦ Ἀρσενίου μιμητής,
ἀρετῆς γενόμενος,
τοῦ ἐν πατρίδι σου λάμψαντος,
καὶ τὰ παλαίσματα,
πολιῶν γερόντων,
ἀσκητῶν τοῦ Ἄθωνος,
λαμπρῶν πόθων μιμεῖσθαι τὴν κλίμακα,
τῆς τελειώσεως,
ἐν Χριστῷ ἀνῆλθες πάντιμε,
καὶ ὡς ἄστρον,

ἀρτίως ἀνέτειλας.

Πιστῶν οἱ χοροὶ ἐκ Καρύων,
εὐλαβῶς κατήρχοντο,
πρὸς τὴν καλύβην ἑκάστοτε,
τὴν σὴν Παΐσιε,
ἵνα τὸ φορτίον,
πόνων ἀποθέσωσι,
τῇ σῇ θεοφιλεῖ ὁσιότητι,
καὶ θάῤῥος λάβωσι,
τοῦ ἐχθροῦ συντρίψαι δύναμιν,
σαῖς πρεσβείαις,
ταῖς θείαις πρὸς Κύριον.

Ἡ χάρις ἀφθόνως ἐπὶ σέ,
ἐκχυθεῖσα Ὅσιε,
τοῦ θείου Πνεύματος ἔδειξε,
σὲ στηλογράφημα,
ἔμψυχον σοφίας,
λύχνον προοράσεως,
λαμπρὸν καὶ διοράσεως πύρσευμα·
διόπερ ηὔγαζες,
τῶν πιστῶς προσερχομένων σοί,
τὰς ζοφώδεις,
καρδίας Παΐσιε.

Μονὴ Θεολόγου ἡ σεπτή,
ἥ ποτε τρυφήσασα,
τῶν σῶν σοφῶν παραινέσεων,
σκιρτὰ καὶ γάνυται,
νῦν ἐν κόλποις ὄλβον,
ὥσπερ θεῖον ἔχουσα,
τὸν τάφον σου παμμάκαρ Παΐσιε,
πιστοῖς τὸν βλύζοντα,
ἀκενώτως ῥεῖθρα πάντοτε,
ἰαμάτων,
αὐτῷ τοῖς προστρέχουσι.

Παΐσιε χάριν δαψιλῆ,
οὐρανόθεν εἴληφας,
ἀρήγειν πάντας τοὺς πάσχοντας,

καὶ χρείαν ἔχοντας·
ὅθεν μετὰ πότμον, ἐπεσκέψω Ὅσιε,
νοσοῦντας καὶ αὐτοῖς τάχος ἴασιν,
Θεοῦ τῇ χάριτι,
ἐδωρήσω ἐνδεικνύμενος,
παῤῥησίαν,
ἣν ἔχεις πρὸς Κύριον.

Καρκίνου ταχὺς θεραπευτής,
καὶ λυτὴρ στειρότητος,
ἐσχάτως ὤφθης Παΐσιε,
θαυμάτων χείμαῤῥε·
ἔτι ἀρνουμένοις,
σὴν θερμὴν ἀντίληψιν,
παρέχεις σῷ οἰκείῳ βουλήματι,
ταχὺ τὰ πρόσφορα,
ῥοῦν δὲ βίου σαῖς ἐντεύξεσι,
μεταβάλλεις,
ἐπικαλουμένων σέ.

**Δόξα. Ἦχος πλ. β΄.**

Ἀσκητικὴ κεκοσμημένος λαμπρότητι,
τὴν Ἐκκλησίαν πᾶσαν ἐπ’ ἐσχάτων ἐφαίδρυνας,
Παΐσιε, Ἁγιορείτα πνευματέμφορε·
νουνεχῶς γὰρ πολιτευσάμενος ἐν Ἄθωνι,
ἀπαθείας καὶ σοφίας στάθμη ὤφθης ἀκριβεστάτη,
καὶ πιστοὺς ταῖς διδαχαῖς σου ἠγλάϊσας·
ὑπεράνω οὖν σαρκὸς γενόμενος,
χάριν εὗρες πρεσβεύειν ἀπαύστως,
ὑπὲρ τῶν τιμώντων ἐν πόθῳ,
καὶ ἀνυμνούντων τὴν πανσεβαστὸν μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.**

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε;
τὶς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον;
ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής,
ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν,
ἀφράστως σαρκωθείς,
φύσει Θεὸς ὑπάρχων,
καὶ φύσει γενόμενος ἄνθρωπος δι’ ἡμᾶς,

οὐκ εἰς δυάδα προσώπων τεμνόμενος,
ἀλλ’ ἐν δυάδι φύσεων,
ἀσυγχύτως γνωριζόμενος.
Αὐτὸν ἱκέτευε, Σεμνὴ Παμμακάριστε,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα·**

**Μακκαβαίων Δ΄ τὸ Ἀνάγνωσμα.**
**(Κεφ. 1,1 - 9)**

Φιλοσοφώτατον λόγον ἐπιδείκνυσθαι μέλλων, εἰ αὐτοδέσποτός ἐστιν τῶν παθῶν ὁ εὐσεβὴς λογισμός, συμβουλεύσαιμ’ ἂν ὑμῖν ὀρθῶς, ὅπως προσέχητε προθύμως τῇ φιλοσοφίᾳ. Καὶ γὰρ ἀναγκαῖος εἰς ἐπιστήμην παντὶ ὁ λόγος καὶ ἄλλως τῆς μεγίστης ἀρετῆς, λέγω δὴ φρονήσεως, περιέχει ἔπαινον. Εἰ ἄρα τῶν σωφροσύνης κωλυτικῶν παθῶν ὁ λογισμὸς φαίνεται ἐπικρατεῖν, γαστριμαργίας τε καὶ ἐπιθυμίας, ἀλλὰ καὶ τῶν τῆς δικαιοσύνης ἐμποδιστικῶν παθῶν κυριεύειν ἀναφαίνεται, οἷον κακοηθείας καὶ τῶν τῆς ἀνδρείας ἐμποδιστικῶν παθῶν, θυμοῦ τε καὶ φόβου καὶ πόνου. Πῶς οὖν, ἴσως εἴποιεν ἄν τινες, εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας οὐ δεσπόζει; Γελοῖον ἐπιχειροῦντες λέγειν. Οὐ γὰρ τῶν αὐτοῦ παθῶν ὁ λογισμὸς κρατεῖ, ἀλλὰ τῶν τῆς δικαιοσύνης καὶ ἀνδρείας καὶ σωφροσύνης ἐναντίων, καὶ τούτων οὐχ ὥστε αὐτὰ καταλύσαι, ἀλλ’ ὥστε αὐτοῖς μὴ εἶξαι. Πολλαχόθεν μὲν οὖν καὶ ἀλλαχόθεν ἔχοιμ’ ἂν ὑμῖν ἐπιδεῖξαι ὅτι αὐτοκράτωρ ἐστὶν τῶν παθῶν ὁ λογισμός, πολὺ δὲ πλέον τουύτο ἀποδείξαιμι ἀπὸ τῆς ἀνδραγαθίας τῶν ὑπὲρ ἀρετῆς ἀποθανόντων, Ἐλεαζάρου τε καὶ τῶν ἑπτὰ ἀδελφῶν καὶ τῆς τούτων μητρός. Ἅπαντες γὰρ οὗτοι τοὺς ἕως θανάτου πόνους ὑπεριδόντες ἐπεδείξαντο ὅτι περικρατεῖ τῶν παθῶν ὁ λογισμός.

**Μακκαβαίων Β΄ τὸ Ἀνάγνωσμα.**
**(Κεφ. ζ΄ 16 - 23)**

Εἰ δὴ τοίνυν γέρων ἀνὴρ τῶν μέχρι θανάτου βασάνων περιεφρόνει δι’ εὐσέβειαν, ὁμολογουμένως ἡγεμών ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. Ἴσως δ’ ἂν εἴποιέν τινες. Τῶν παθῶν οὐ πάντες περικρατοῦσιν, ὅτι οὐδὲ πάντες φρόνιμον ἔχουσι τὸν λογισμόν. Ἀλλ’ ὅσοι τῆς εὐσεβείας προνοοῦσιν ἐξ ὅλης καρδίας, οὗτοι μόνοι δύνανται κρατεῖν τῶν τῆς σαρκὸς παθῶν πιστεύοντες ὅτι Θεῷ οὐκ ἀποθνήσκουσιν, ὥσπερ οὐδὲ οἱ πατριάρχαι ἡμῶν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἀλλὰ ζῶσι τῷ Θεῷ. Οὐδὲν οὖν ἐναντιοῦται τὸ φαίνεσθαί

τινας παθοκρατείσθαι διὰ τὸν ἀσθενῆ λογισμόν· ἐπεί τις πρὸς ὅλον τὸν τῆς φιλοσοφίας κανόνα φιλοσοφῶν καὶ πεπιστευκὼς Θεῷ καὶ εἰδὼς ὅτι διὰ τὴν ἀρετὴν πάντα πόνον ὑπομένειν μακάριόν ἐστιν, οὐκ ἂν περικρατήσειεν τῶν παθῶν διὰ τὴν θεοσέβειαν; Μόνος γὰρ ὁ σοφὸς καὶ ἀνδρεῖός ἐστι τῶν παθῶν κύριος.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. δ΄ 7 - 15)**

**Δ**ίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

# ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

## Ἰδιόμελα

### Ἦχος α΄.

**Ἀ**πὸ νεότητος Χριστῷ σαυτὸν ἀναθέμενος
ὑπομονή, εὐχὴ καὶ ταπεινώσει
καλῶν λογισμῶν ἀσύλητον ταμεῖον
γεγένησαι, Παΐσιε·
διαλαμπῶν γὰρ ἀγάπῃ πρὸς πλησίον τελείᾳ
ἀζύγων τὴν ὁμήγυριν κατηγλάϊσας
και πιστῶν τὰ τάγματα κατηύφρανας·
καὶ νῦν τὸ χοϊκὸν σαρκίον ἀρνησάμενος
σὺν ἀΰλοις τάξεσι καὶ ὁσίοις δοξάζεις τὸν Κύριον
δεόμενος ἀπαύστως ὑπὲρ τῶν τιμώντων σέ.

### Ἦχος β΄.

**Ἀ**ρσενίου Ὁσίου, τοῦ ἐν Φαράσοις διαλάμψαντος,
ἀκολουθήσας ταῖς τρίβοις,
ἐναρέτων πράξεων τύπος, καὶ πάσης ἀρετῆς κανῶν εὐθύτατος,
ἐδείχθης Παΐσιε·
ἀριστεύσας οὖν κατὰ τῶν παθῶν,

καὶ τῶν προσυλῶν ἁπάντων τὸν νοῦν καθηράμενος,
ἐρύθμιζες σοῖς σοφωτάτοις ῥήμασι,
πιστοὺς πρὸς ἠθῶν εὐπρέπειαν,
καὶ κτῆσιν φόβου Θεοῦ·
καὶ νῦν, Ἀθωνίτα ἐνθεώτατε,
πρεσβεῦε Χριστῷ εἰρηνεύσαι τὴν Ἐκκλησίαν,
καὶ σοῦ μιμήσασθαι τοὺς πόνους ἡμᾶς ἀξίωσον.

**Ἦχος γ΄.**

Κατ' οὐδένα τρόπον μετέτρεψας,
τοὺς τῆς εὐσεβείας οἴακας,
ἕως οὐ ἔπλευσας ἐπὶ τὸν τῆς ἀθανάτου νίκης λιμένα,
τὸν πολιὸν Ἐλεάζαρον μιμούμενος,
θεοφόρε Παΐσιε·
νικήσας οὖν διὰ τῶν ἀγαθῶν λογισμῶν τὰ πάθη σου,
καὶ πολλοὺς διδάξας ἀείποτε λογισμοὺς εὐσεβείας ἔχειν
εἰς ἀγκάλας Ἀβραὰμ ἀνεπαύσω,
ἔνθα πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος δ΄.**

Ἀγάλλεται σήμερον τὸ ἁγιώνυμον ὅρος Ἄθω,
τῇ στεῤῥᾷ ἀσκήσει σοῦ,
δι' ἧς τῶν πάλαι πατέρων τὴν ἀρετὴν ὑπέφηνας,
Παΐσιε θεοδόξαστε·
ἐξαιρέτως δὲ γάνυται ἡ τῶν μοναζουσῶν χορεία,
τῆς τρισευδαίμονος τοῦ Θεολόγου μάνδρας,
ἔχουσα ὡς πηγὴν ἁγιάσματος
τὸν πανίερον τάφον σου·
οὐρανόθεν οὖν ἐπόμβρισον ἅπασι λιταῖς σου,
δαψιλῶς ὑετὸν θείας χάριτος,
καὶ σῶσον ἐκ φθορᾶς τοῦ θανάτου
τὰς ψυχὰς τῶν τιμώντων σέ, παναοίδιμε.

**Δόξα. Ὁ αὐτός.**

Ἐν φόβῳ Θεοῦ ἐπιτελῶν ἁγιωσύνην,
ἑαυτὸν ἐκάθηρας παντὸς μολυσμοῦ,
σαρκὸς καὶ πνεύματος, Παΐσιε·
ναὸν οὖν σαυτὸν ποιήσας Θεοῦ τοῦ ζῶντος,
μονοτρόπων καὶ χοϊκῶν ἁπάντων τοὺς χοροὺς ἡγίαζες,
τῇ ἄνωθεν δοθείσῃ σοὶ χάριτι·

καὶ νῦν τῆς αἰωνίου ζωῆς λαβὼν τὸ γέρας,
ἀδιαλείπτως πρεσβεύεις ὑπὲρ τῶν τιμώντων,
τὴν σεβάσμιον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων
τοὺς δούλους σου φύλαττε,
εὐλογημένη Θεοτόκε,
ἵνα σε δοξάζωμεν,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**

**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, ὁ τῆς ἀγάπης πυρσός,
ὁ δαδουχήσας ἐπ’ ἐσχάτων ἀγῶσι σοῦ
τιμίοις τῶν μονοτρόπων,
τοὺς ἐν τῷ Ἄθω χορούς,
ἀσκητῶν λαμπρότης καὶ ὑπόδειγμα·
Χριστοῦ γὰρ δεόμενος,
ἀσθενοῦντος μετήνεγκας,
τὰς ἀλγηδόνας,
εἰς σαυτὸν καὶ τὸ νόσημα,
τὸ κατώδυνον
ἄχρι τέλους ἐβάστασας
τούτου, σεπτὲ Παΐσιε,
ὡς ὄλβον πολύτιμον,
ἀγαλλιώμενος ὅτι,
τὸν σὸν πλησίον ἐκούφισας,
καὶ ἦρας τὸ ἄλγος
τὸ αὐτοῦ, ὡς ἁμαρτίας
ἡμῶν ὁ Κύριος.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ’Ὁσίου Αὐτοῦ.

Χαίροις, ὁ τῶν Φαράσων βλαστός,
τοῦ ὄρους Ἄθω εὐθαλέλαστον βλάστημα,
Σιναίου τοῦ ὄρους κρῖνον,
καὶ τῆς Στομίου μονῆς,
ῥόδον ποικιλόχρουν,
καὶ ἡδύπνευστον·
Παΐσιε ὅσιε,

ὁδηγὲ ἀπλανέστατε,
πρὸς σωτηρίαν,
εὐσεβῶν τοῦ πληρώματος,
μάνδρας καύχημα,
Θεολόγου γεγένησαι·
αὕτη γὰρ ὡς ὀχύρωμα,
κατέχει ἀσάλευτον,
τῶν συμβουλῶν σου τὸ πλῆθος,
καὶ τὸν σὸν τάφον ὃν Κύριος,
ἀνέδειξεν ἄρτι,
κολυμβήθραν ἰαμάτων,
δόξασαι θέλων σέ.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Χ**αίροις, ὁ πολυτόκου μητρός,
καρπὸς θειότατος, Παΐσιε Ὅσιε,
ὁ τήξας σαυτὸν συντόνῳ,
ἀσκήσει καὶ προσευχῇ,
ἵνα θρέψης κόσμον,
θεία χάριτι,
ποθοῦντα τῆς πίστεως,
γνῶναι πᾶσαν ἀλήθειαν,
καὶ κατευθύνης,
πρὸς ὁδὸν τὴν σωτήριον,
τοὺς προστρέχοντας,
συμβουλαῖς ταῖς πανσόφοις σοῦ·
σπείρας γὰρ θείας σπέρματα,
ἀγάπης ἐθέρισας,
καρπὸν πολυχοῦν ἀγήρω,
ζωῆς ἧς πάντας ἀξίωσον,
τοὺς σὲ ἀνυμνοῦντας,
καὶ πρεσβείας αἰτουμένους,
τὰς σᾶς πρὸς Κύριον.

**Δόξα. Ἦχος πλ. δ΄.**

**Δ**ιδασκαλίας καὶ διακρίσεως τὸ τάλαντον ἐδέξω,
ὡς ἀντιμίσθιον τῶν ἀσκητικῶν σοῦ καμάτων,
παρὰ Χριστοῦ τοῦ Θεοῦ, Παΐσιε τρισμέγιστε·
σῦ γὰρ προορᾶν τὰ ἐσόμενα ἠξιώθης,
καὶ μεθύσκειν τὰς αὔλακας τῶν ψυχῶν τῶν εὐσεβούντων,
νέκταρι τῶν θεοσοφῶν ῥημάτων σου·

λάμψας οὖν ὡς νεοπύρσευτον Ἐκκλησίας σέλας,
πρὸς τὸν Ἥλιον τὸν νοητὸν ἀνέδραμες,
Ὃν ἱκετεύεις καταξιώσαι καὶ ἡμᾶς,
τῆς ἄνω λαμπρότητος.

Καὶ νῦν. **Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σοῦ,
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τὸν ἐν Ὄρει Ἁγίῳ ἀρτίως λάμψαντα,
ἀδιαλείπτῳ ἀσκήσει,
καὶ νοερὰ προσευχή,
ἐπαινέσωμεν πιστοί, σεπτὸν Παΐσιον,
ὅτι ὡς ῥόδον εὐανθές,
κατεμύρισε ψυχάς,
τοῖς λόγοις τοῖς θεοφθόγοις·
καὶ νῦν τὰ κρείττονα νέμει,
αὐτοῦ λιταῖς τοῖς καταφεύγουσιν.

**Θεοτοκίον.**

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος,
χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ,
χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε,
ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν,
πρεσβεύουσα μὴ ἐλλείπης,
ὑπὲρ τῶν ἀνυμνούντων,
καὶ προσκυνούντων τὸν Τόκον σου.

**Ἀπόλυσις.**

****************************************

# ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Ἐνθέοις λογισμοῖς,
πληρωθεὶς τὴν καρδίαν,
καὶ ταῖς μαρμαρυγαῖς,
ἀπαθείας φαιδρύνας,
σαυτὸν κατεπύρσευσας,
ἀρεταῖς τὴν ὑφήλιον,
καὶ κατέπιθες,
πιστοὺς κραυγάζειν σοι πόθῳ·
χαῖρε οἴκημα,
παντοειδῶν χαρισμάτων,
Παΐσιε Ὅσιε.

**Δόξα. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**

Δρυμοὺς καὶ παρυφάς,
τοῦ σεπτοῦ σου λειμῶνος,
ἡγίασε ῥοαῖς,
ἐπ’ ἐσχάτων δακρύων,
αὐτοῦ Μητροπάρθενε,
ὁ θέοφρον Παΐσιος,
ὃς κατεῖδε σέ,
ὑπερφυῶς ἐν ὁράσει,
προσευχόμενος,
ἐν τῇ αὐτοῦ ἀπερίττῳ,
καλύβῃ Πανύμνητε.

**Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Φαράσων τὸ σέμνωμα,
Ἁγίου Ὄρους φανόν,
καὶ κῦδος περιδόξον,
τῆς Θεολόγου Μονῆς,
πιστῶς εὐφημήσωμεν,

κράζοντες· μὴ ἐλλιπής,
ἀενάως πρεσβεύειν,
δοῦναι πιστοῖς εἰρήνην,
καὶ ὑγίειαν ἄμφω,
τοῖς πόθῳ ἐκτελούσι τὴν σήν,
μνήμην Παΐσιε.

**Δόξα. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**
Πανάφθορε Δέσποινα,
ἡ μετὰ τόκον ὡς πρίν,
τοῦ τόκου σου μείνασα,
ἁγνὴ παθῶν τὴν ἐμήν,
ψυχὴν ἀποκαθαρόν,
καὶ μετανοίας δίδου,
τῇ ἐμῇ ταπεινώσει,
δάκρυα ἵνα μέλπω,
ἠγνισμένη καρδίᾳ,
καὶ χείλεσιν ἁγνοῖς σὴν πολλήν,
πρός με συμπάθειαν.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα.**

**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τῆς θείας χάριτος κατοικητήριον,
πιστῶν πρὸς θέωσιν τὸ ἐφαλτήριον,
καὶ ἀσκητῶν ἀρτιφανῶς Χριστῷ εὐαρεστησάντων,
ἔκτυπον τοῖς ἄνθεσι μελίχρων ὕμνων στέψωμεν,
λογισμῶν ὡς παντιμον ἀγαθῶν σκεῦος κράζοντες·
λαμπρὲ σημειοφόρε τοῦ Ἄθω, χαῖρε Παΐσιε θέοφρον.

**Δόξα. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**
Τὴν σκοτισθείσάν μου ψυχὴν καταύγασον,
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς κρίσεως,
καὶ πόθῳ ἀσιγήτως βοώ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον Ὁσιακόν (Λουκ. στ΄ 17 - 23).**

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἰερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος,οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· καὶ οἱ ἐνοχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτουν ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγεν, Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσιν καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου·χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε, ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

**Ὁ Ν΄ Ψαλμός.**

**Δόξα.** Ταῖς τοῦ Σοῦ Ὁσίου, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

**Στίχ.** Ἐλεῆμον, ἐλέησον με, ὁ Θεός, κατά τὸ μέγα ἔλεός σου, καί κατά τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὁ τὰ ἔνυλα πάντα ἀπαρνηθεὶς παιδιόθεν,
καὶ δι᾽ ἀσκήσεως στεῤῥὰς εἰς ὕψος ἀνελθὼν ἀπαθείας,
Παΐσιε παμμακάριστε,
δεομένων σοῦ ἡμῶν ἐπάκουσον·
πτέρωσον τὸν νοῦν τῶν σοι προστρεχόντων,
ποθεῖν τὰ κρείττονα,
ὡς ἂν καὶ ἡμεῖς τῆς αἰωνίου τύχωμεν ζωῆς,
οἱ τιμῶντες σὴν μνήμην,
Ἀθωνιτῶν Πατέρων κρῖνον νεόφυτον.

***Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....***

**Εἶτα οἱ Κανόνες τοῦ Ὁσίου,**

**Κανὼν πρῶτος, οὗ ἡ Ἀκροστιχίς·**

" ΑΡΕΤΗΣ ΝΕΟΦΩΤΟΝ ΑΣΤΡΟΝ, ΠΑΪΣΙΟΝ, ΜΕΛΠΩ. Χ. "

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Ἀρτίως, Παΐσιε,
ἐν ὄρει Ἄθωνος ἔλαμψας,
βολαῖς πολιτείας σου,
σεμνῆς καὶ λόγων σοφῶν,
δι’ ὧν ἔλυσας, ἀχλὺν τῆς δυσθυμίας,
βροτῶν τῶν ἑκάστοτε,
καταφευγόντων σοί.

Ῥοδῶν ὁλομύριστος,
ἡ σὴ ψυχὴ ἀναδέδεικται,
σοφίας βλαστήσασα,
ὑπακοῆς καὶ εὐχῆς,
ῥόδα παντερπνά,
εὐφραίνοντα τοὺς πόθῳ,
σοὶ σπεύδοντας πάντοτε,
πάτερ Παΐσιε.

Ἐκάθηρας ἅπαντα,
τοῦ πονηροῦ διαβούλια,
Παΐσιε ὄλβιε,
δι’ ἀγαθῶν λογισμῶν,
οὓς ἐβάσταζες,
ἀγάπης ὥσπερ σκῆπτρα,
ἀφάτου πρὸς ἅπαντας,
ἐν τῇ καρδίᾳ σου.

Τὴν θείαν ὡς ἔλεγες,
δικαιοσύνην Παΐσιε,
τηρῶν ἐν τῷ βίῳ σου,
πραέων ὤφθης κανῶν,
καὶ εἰρήνευες,
πιστοὺς ἀστασιάστως·
διὸ καὶ ἠξίωσαι,
θείας λαμπρότητος.

**Θεοτοκίον.**

Ἡ μόνη ἀπείρανδρος,
καὶ ὑπεράμωμος Δέσποινα,
κηλῖδάς μου καθαρόν,

ἀμπλακημάτων πολλῶν,
καὶ ἀξίωσον,
σεπτοῦ με Παϊσίου,
τοὺς τρόπους μιμήσασθαι,
ἵνα σωθήσομαι.

## Κανὼν δεύτερος.

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**

Παναρμονίοις νῦν ᾠδαῖς καὶ ᾄσμασι,
μελισταγέσι φαιδρῶς,
ἀναμέλπομέν σου,
μνήμην τὴν πανίερον,
Παΐσιε τρισόλβιε,
ὁ ἐν Ἄθω ἀρτίως,
ἐκλάμψας ἄστρον ὥς πάμφωτον,
θεαυγῶν ἀρετῶν σου πυρσεύμασιν.

Ἀθωνιτῶν νεολαμπὲς ἀμάρυγμα,
σὴ ἀκραιφνεῖ βιοτῇ,
ἀφανεῖ ἀσκήσει,
πλούτῳ ἀγαπήσεως,
πρὸς πέλας καὶ πρὸς Κύριον,
καὶ θερμαῖς προσευχαῖς σου,
τὸν κόσμον πάντα ἐφώτισας,
τὸν λαμπρῶς σὲ τιμῶντα, Παΐσιε.

Ἰθύντωρ ὤφθης ἀπλανὴς Παΐσιε,
καὶ σταθηρὸς ποδηγός,
πρὸς ζωὴν ἀγήρω,
τῶν καταφευγόντων σοί,
καὶ πίστει ἐκζητούντων σου,
συμβουλὰς τὰς πανσόφους,
πρὸς ἀρετῆς ὁλοκλήρωσιν,
καὶ Ἀγγέλων Θεοῦ βίου ζήλωσιν.

**Θεοτοκίον.**

Στενοχωρίας τῶν ἐν βίῳ αἴτησαι,
λύσιν, ἁγνὴ Μαριάμ,
τοῖς προστρέχουσί σοι,
καὶ πταισμάτων ἄφεσιν,

Παρθένε θεοτίμητε,
Παϊσίου πρεσβείαις,
τοῦ ἐν λειμῶνι τῷ θείῳ σοῦ,
νεωστὶ θεαρέστως βιώσαντος.

## Κανὼν πρῶτος.

**Ὠδὴ γ΄. Τοὺς σοῦς ὑμνολόγους.**

Σαλπίζων ἀγάπης τὸν παιᾶνα,
τὸ θέλημα ἔκοπτες τὸ σόν,
τό του ἑτέρου πάντοτε,
ζητῶν ποιεῖν ὡς ἔλεγεν,
ὁ Παῦλος ὁ τρισμέγιστος,
πνευματοφόρε Παΐσιε.

Νεοφωτον πύρσευμα Φαράσων,
Ἀρσένιον ἔσχες ὁδηγόν,
πρὸς φέγγος τὸ αἰώνιον,
παρ’ οὐ τὸ θεῖον βάπτισμα,
ἀπείληφας Παΐσιε,
τῶν ἀρετῶν ἐνδιαίτημα.

Ἐν Ὄρει Ἁγίῳ τῆς σοφίας,
ἐτρύγεις τὸ μέλι ἀσκητῶν,
ὡς μέλισσα ἀκάματος·
διὸ καὶ νέκταρ ἔσταζεν,
ἐκ τῶν ἁγνῶν χειλέων σου,
ἀπαύστως Πάτερ Παΐσιε.

**Θεοτοκίον.**

Ὀρέξεις σαρκός μου χαμαιζήλους,
Πανάχραντε πράϋνον ταχύ,
καὶ τῆς ψυχῆς μου ὄμματα,
ἀνάτεινον πρὸς ἄφθαρτα,
τὰ ἐν τῷ πόλω Δέσποινα,
ὡς ἂν ἀεὶ μακαρίζω σέ.

## Κανὼν δεύτερος.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Ἰσαὰκ παραινέσεις,

καὶ προτροπὰς Ὅσιε,
ἀσκητοῦ Συρίας τοῦ θείου,
ἔχων Παΐσιε,
ὡς φωταυγὴ ὁδηγόν,
τοῦ ἐναρέτου σοῦ βίου,
ἤρθης πρὸς θεώσεως,
ὕψος δυσπρόσιτον.

Ὁσιότητος κέρας,
ἀρτιφανῶς ἔλαμψας,
ἐν Ἁγίῳ Ὄρει καὶ κόσμον,
πάντα ἐφώτισας,
ἀκτῖσι σῶν συμβουλῶν,
ἐπὶ καιρίων θεμάτων,
διεθνοὺς κοινότητος,
πάτερ Παΐσιε.

Νυχθημέροις λιταῖς σου,
καὶ προσευχαῖς ἤλλαξας,
ῥοῦν ἐπικινδύνων πραγμάτων,
δι' ἀνθρωπότητα·
καὶ νῦν εὐσπλάγχνῳ Θεῷ,
ὑπὲρ ἡμῶν μὴ ἐλλιπής,
δυσωπῶν Παΐσιε,
ὡς συμπαθέστατος.

**Θεοτοκίον.**

Θεοτόκε Παρθένε,
περιφανὲς σέμνωμα,
Ὄρους τοῦ Ἁγίου καὶ αὖχος,
πάσης τῆς κτίσεως,
τοῦ Παϊσίου εὐχαῖς,
τοῦ σου Ὁσίου οἰκέτου,
συμφορῶν ἐκλύτρωσαι,
πάντας καὶ θλίψεων.

**Κάθισμα. Ἦχος γ΄. Κατεπλάγη Ἰωσήφ.**

Κατεσκήνωσεν ἐν σοί,
τοῦ θείου καὶ ζωαρχικοῦ,
Παρακλήτου ἀσκητά,

ἡ χάρις καὶ περικαλλές,
ἀνέδειξε σὲ σοφίας Θεοῦ δοχεῖον·
σῦ γὰρ μοναστῶν,
δήμους ηὔφρανας,
τοὺς πανευλαβῶς,
σοὶ προστρέχοντας,
καὶ ἐκζητούντας τὰς θείας πρεσβείας σου,
καὶ συμβουλὰς τὰς πανσόφους σοῦ·
διὸ σὲ πάντες,
ἀξιόχρεως
εὐφημοῦμεν, Παΐσιε.

**Θεοτοκίον.**

Τοῦ λειμῶνός σου, ἁγνή,
τοῦ ἱεροῦ καὶ μυριστού,
ἐν τῷ Ἄθω Μαριάμ,
ἀρτίως Μῆτερ τοῦ Θεοῦ,
τὸ θεῖον ῥόδον Παΐσιον τὸν θεοπνοῦν,
μέλποντες πιστῶς,
μακαρίζομεν,
σὲ ὡς ἀγαθήν,
γῆν καὶ εὔφορον,
ὑπερφυῶς τὴν βλαστήσασαν Κύριον,
καὶ Ποιητὴν πάσης κτίσεως,
τὸν δυσωδίαν,
ἡμῶν πταισμάτων,
ἀλγεινῶν ἐξαλείφοντα.

## Κανὼν πρῶτος.

**ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Φέρων πόθῳ σου ἀπλέτῳ,
τοῦ Σωτῆρος Παΐσιε,
τὸν Σταυρὸν ἐπ' ὤμων,
δρόμον ὡς ἰσάγγελος ὥδευσας,
τῆς ἐπὶ γῆς βιοτῆς σου καὶ κατέπαυσας,
ἐν τοῖς δώμασι,
τῆς ἀπαθείας καὶ νήψεως.

Ὡς κατάκομος ἐρήμου,
φοῖνιξ μάκαρ Παΐσιε,

Σίναιον τὸ ὄρος,
ἀσκητὰ θέοφρον ἐκόσμησας,
καὶ ὡς ἡδύπνευσον κρίνον κατεμύρισας,
ὄρος Ἄθωνος,
ὀδμαῖς σεπτῆς σου ἀσκήσεως.

Τῆς Τριάδος ἀνεδείχθης,
διαυγέστατον ἔσοπτρον,
ταπεινοφροσύνης,
ἔμπνουν στηλογράφημα ὅσιε,
καὶ τῶν ἐν Ἄθω πατέρων θεῖον κλέϊσμα·
ὅθεν ἅπαντες,
σὲ ἀνυμνοῦμεν Παΐσιε.

**Θεοτοκίον.**

Ὁ τὰ σύμπαντα συνέχων,
ἐν δρακὶ μόνος Κύριος,
καὶ Σωτὴρ τοῦ κόσμου,
ἐκ τῆς πανασπίλου νηδύος σου,
ἔλαβε σάρκα γηΐνην Θεονύμφευτε,
καὶ ἀνύψωσε,
πρὸς οὐρανὸν γένος βρότειον.

**Κανὼν δεύτερος.**

**Ὠδὴ δ΄. Σῦ μου ἰσχύς.**

Εἰς τὰς κλιτῦς,
τὰς δασυσκίους τοῦ Ἄθωνος,
θεοφόρε ἀσκητὰ Παΐσιε,
κατασκηνώσας θεοφίλως,
ὤφθης τῶν πατέρων,
τῶν πάλαι ἄρτι ὁμόζηλος·
διὸ καὶ θαυμασίων,
ἐδοξάσθης ἀξίως,
ἐνεργείαις ἰσάγγελε ἄνθρωπε.

Ἰσχὺν λαβών,
πλουσίως μάκαρ Παΐσιε,
οὐρανόθεν ὥσπερ φίλος γνήσιος,
τοῦ Παντοκράτορος καὶ Θεοῦ,
μέλλοντα συμβαίνειν,

ὡς τὰ παρόντα ἐγίγνωσκες,
καὶ τὰς ἐνέδρας πάσας,
τοῦ πλάνου ἀποφεύγειν,
εὐκρινῶς σοῦς ἱκέτας κατηύθυνες.

Ὅλως ἐν σοί,
ἡ θεία χάρις οἰκήσασα,
μυροθήκην τιμαλφὴ ἀνέδειξε,
σὲ δωρημάτων αὐτῆς σεπτῶν·
ὅθεν σῶν προσφύγων,
πεφορτισμένων ἀνέπαυες,
ψυχὰς πνευματοφόρε,
νουθετῶν διακρίσει,
σῇ πολλῇ τούτους πάτερ Παΐσιε.

**Θεοτοκίον.**

Ναὲ Θεοῦ,
πεποικιλμένε πανύμνητε,
Θεοτόκε Παϊσίου σέμνωμα,
τοῦ ἐν τῷ Ἄθω ἀρτιφανῶς,
λάμψαντος δυσώπει,
τὸν σὸν Υἱὸν καὶ Παντάνακτα,
πρεσβείαις τοῦ Ὁσίου,
ὑετόν μοι ὀμβρίσαι,
τῆς ψυχῆς ὑγιείας καὶ σώματος.

**Κανὼν πρῶτος.**

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Νεκρώσας τὸ φρόνημα,
σαρκὸς παννύχοις στάσεσι,
δάκρυσιν εὐχὴ καὶ ταπεινώσει,
ναὸς ἐγένου,
τοῦ Παρακλήτου λαμπρός,
πιστοὺς ἁγιάζων ἐν σπουδῇ,
προσιόντας Ὅσιε,
σοὶ τρισμάκαρ Παΐσιε.

Ἀνῆλθες τὴν κλίμακα,
τῶν ἀρετῶν Παΐσιε,
θέλημα τὸ ἴδιον σοῦ κόπτων,

καὶ ὑπακούων,
τοῦ Γέροντός σου βουλαῖς,
πανθαυμαστὲ ὥσπερ χαλκουργῷ,
ἐν καμίνῳ σίδηρος,
ἵνα εὔχρηστος γένηται.

Σοφίας ἀνάκτορον,
χρυσοτευκτον τεθέασαι,
ἄρτι καὶ ἀγάπης μυροθήκη·
διό σοι πάντες,
τῶν γηγενῶν οἱ χοροί,
προσέτρεχον καὶ τὰς συμβουλάς,
ἤκουον τὰς θείας σοῦ,
καθ᾽ ἑκάστην Παΐσιε.

**Θεοτοκίον.**

Τὸ μέγα μυστήριον,
τοῦ Τόκου σου ἐτράνωσαν,
πάντων προφητῶν χοροὶ Παρθένε·
σὲ γὰρ λυχνίαν,
ὄρος δασὺ κιβωτόν,
καὶ στάμνον ὠνόμασαν χρυσήν,
ῥάβδον βάτον ἄφλεκτον,
πλάκα καὶ θείαν τράπεζαν.

## Κανὼν δεύτερος.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.**

Μονοτρόπων φαιδρότης,
Ἄθωνος κοσμῆτορ καὶ κῦδος καὶ καύχημα,
ζῶν καὶ μετὰ πότμον,
ἐποπτεύεις τοὺς πόθῳ τιμῶντας σέ,
καὶ συγχρόνως πάντας,
προφθάνεις ἐπικαλουμένους,
σὲ πιστῶς βοηθῆσαι Παΐσιε.

Ἱλαρώτατε πάτερ,
χάριν οὐρανόθεν ἀφθόνως εἴληφας,
ὡς τῶν σῶν ἀγώνων,
ἀντιμίσθιον σοὶ τοὺς προστρέχοντας,
ἀσινεῖς τηρῆσαι,

ἐκ τῶν βελῶν τοῦ πολεμίου,
συμπαθὲς Ἀθωνίτα Παΐσιε.

Μόνον τοῦ Ζωοδότου,
κάλλος τὸ ἀμήχανον πάτερ καὶ ἄῤῥητον,
ἐκζητῶν ἐκ χρόνων,
σῆς νεότητος κόσμου Παΐσιε,
ὑπερεῖδες πάντα,
ἡδέα ὡς σποδὸν καὶ κόνιν,
πνευματέμφορε μέροψ ἰσάγγελε.

**Θεοτοκίον.**

Ἡ χαρὰ τῶν Ἀγγέλων,
ἀνθρωπίνου γένους ἀτίμητον σέμνωμα,
Κεχαριτωμένη,
Θεοτόκε Παρθένε πανάμωμε,
λύτρωσαι παθῶν με,
καὶ τῇ ψυχῇ μου τῇ νοσούσῃ,
ἀνακράζω παρασχοὺ ὑγίειαν.

**Κανὼν πρῶτος.**

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ῥεόντων πάντων ὑπέρτερος,
ἐδείχθης ἐπ' ἐσχάτων Παΐσιε,
ὁ λογιζόμενος,
σαυτὸν μερόπων ὡς ἔσχατον·
διὸ καὶ τῆς ἀῤῥεύστου,
χαρᾶς ἠξίωσαι.

Ὁδοὺς ἐδείκνυς πρὸς Κύριον,
ὡσεὶ χειραγωγὸς ἀπλανέστατος,
χοροῖς Παΐσιε,
μοναζουσῶν καὶ πληρώματος,
δεινῶς θαλαττευόντων,
ἐν βίου κλύδωσι.

Νοσοῦντας τάχος ἰάτρευες,
τοὺς σπεύδοντας τῇ θείᾳ σοῦ χάριτι,
καὶ ἄλλους ἔσωζες,

ἀπὸ κινδύνων Παΐσιε,
ταῖς σαῖς πρὸς τὸν Σωτηρά,
ἡμῶν ἐντεύξεσι.

**Θεοτοκίον.**

Προστάτις πέλεις ἀνύστακτος,
τῶν ἐπικαλουμένων σὲ Δέσποινα,
καὶ παραμύθιον,
τῶν ἐν ταῖς ζάλαις τῶν θλίψεων,
πικρῶς ὀδυνομένων,
Θεογεννήτρια.

**Κανὼν δεύτερος.**

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Τριβώνιον μέλαν ἀμπεχόμενος,
τῆς ἀσκήσεως ἐζήλωσας ἔργον,
ποιεῖν κναφέως Παΐσιε μάκαρ,
καὶ παραστῆσαι Χριστῷ τοὺς σοῦς πρόσφυγας,
λευχειμονούντας καὶ μεστούς,
λογισμῶν ψυχοτροφῶν καὶ πράξεων.

Ἠφάνισας τοῦ ἐχθροῦ τὴν δύναμιν, τα
οῖς ἀόκνοις σοῦ Παΐσιε πόνοις,
καὶ ὑπὲρ φύσιν σεπτοίς σου ἀγῶσι·
διὸ καὶ χάριν πλουσίως ἀπείληφας,
ἐκ τῆς δεινῆς ἐπιβουλῆς,
τοῦ ἀλάστορος ἅπαντας ῥύεσθαι.

Νῦν μέλποντες σὲ ἁγίων σύσκηνε,
ὡς ὁμόζηλον αὐτῶν σὲ τιμῶμεν,
τὸν κατιδεῖν ταῖς ἰδίαις σοῦ κόραις,
ἀξιωθέντα ἁγίων ὁμήγυριν,
ἐν οἷσπερ Λουκιλιανόν,
καὶ Σκλαβαίνων Παΐσιε Βλάσιον.

**Θεοτοκίον.**

Ἀπείρανδρε Παναγία Δέσποινα,
ταχινὴ ἐμπεριστάτων ἀκέστορ,
μή μου παρίδης ῥοὰς τῶν δακρύων,

ἀλλ’ εἰς χειμάῤῥουν αὐτὰς μεταποίησον,
χαρὰς ἀλήκτου ἀγαθή,
Παϊσίου τοῦ θείου ἐντεύξεσι.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τὸν ἐκ Φαράσων ἀνατείλαντα ὡς ἥλιον,
καὶ ὄρει Ἄθω ταῖς αὐγαῖς ἀρτίως φάναντα,
πολιτείας φιλοθέου ἐν ὕμνοις πάντες,
ἐπαινέσωμεν ἀζύγων ὡς ὑπόδειγμα,
καὶ λυχνίαν παμφαὴ ἀγάπης κρείττονος,
πόθῳ κράζοντες· Χαίροις πάτερ Παΐσιε.

**Ὁ Οἶκος.**

Ἄγγελος τῆς ἀγάπης,
ἄρτι κόσμῳ ἐδείχθης,
Παΐσιε, ἀζύγων λαμπρότης·
ἀναβὰς γὰρ πασῶν ἀρετῶν,
τὰς βαθμίδας δήμου εὐσεβῶν γέγονας,
ἀκέστωρ ἐν ταῖς θλίψεσι,
καὶ ἤγειρας αὐτοὺς βόαν σοι·
Χαῖρε, ἀσκήσεως θεία λύρα,
χαῖρε, φρονήσεως ἡ κινυρά·
Χαῖρε, λογισμῶν ἀγαθῶν στηλογράφημα,
χαῖρε, εὐκλεῶν παλαισμάτων ἀμάρυγμα·
Χαῖρε, ἄστρον τὸ νεοφωτον ἐν τοῦ Ἄθω τοῖς δρυμοῖς,
χαῖρε, βάθρον ταπεινώσεως καὶ ἀόκνου προσευχῆς·
Χαῖρε, ὅτι ἐδείχθης προοράσεως κέρας,
χαῖρε, ὅτι ἐπώφθης ἐγρηγόρσεως γέρας·
Χαῖρε, πυρσὸς ἀσκήσεως πάμφωτος,
χαῖρε, φανὸς σοφίας καὶ νήψεως·
Χαῖρε, δι’ ὃν Ἀθωνίται σκιρτῶσι,
χαῖρε, πρὸς ὃν εὐσεβεῖς ἐκβοῶσι·
Χαίροις, πάτερ Παΐσιε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΒ΄ Ἰουλίου. Εἶτα λέγομεν.**

Τῇ αὐτῇ ἡμέρα μνήμη τοῦ ἀρτιφανῶς ἐν Ἁγίῳ Ὄρει ἐκλάμψαντος Ὁσίου καὶ Θεοφόρου πατρός ἡμῶν Παϊσίου..

**Στίχοι.**

Χαῖρε, Παΐσιε, ἀξίως φωνοῦμεν,
σοφίας νεοφωτον Ἄθωνος ἄστρον.
Ἄγγελος ἐν Ἄθω φωτολαμπρὸς ὤφθης
βρότειον ὑπερβάς, Παΐσιε, φύσιν.

**Συναξάριον.**

**Ὁ** ἀρτιφανὴς φωστὴρ τῆς του Χριστοῦ Ἐκκλησίας Παΐσιος ὁ Ἀθωνίτης, ὁ πνευματέμφορος πολιὸς ἡμῶν πατήρ, τὸ τῆς ἀγάπης ἐνδιαίτημα καὶ τῆς ἀπαθείας θεῖον σκήνωμα, ἐγεννήθη ἐν Φαράσοις τῆς Καππαδοκίας ἐν τοῖς δυσχειμέροις χρόνοις ἡμῶν, τοῖς χρόνοις τῆς ἀποστασίας τοῦ αἰῶνος τούτου τοῦ ἀπατεῶνος.(τῇ 25ῃ Ἰουλίου 1924). Γόνος πολυτόκου οἰκογενείας ἔλαβε τὸ θεῖον βάπτισμα παρὰ τοῦ ἐν Ὁσίοις πατρὸς ἡμῶν Ἀρσενίου τοῦ Καππάδοκος, οὗ ταῖς ἀσκητικαῖς εἶτα τρίβοις ἠκολούθησε. Τρωθεὶς παιδιόθεν θείῳ ἔρωτι ἦλθεν εἰς τὸ Ἁγιώνυμον Ὄρος τοῦ Ἄθωνος, ἔνθα ὡς μέλισσα ἀκάματος ἐτρύγησε τὸ μέλι τῆς ἀρετῆς ἐκ τῶν χειλέων ὁσίων γερόντων, θεοφίλως αὐτόθι ἀσκήσας ἐπώφθη ὑπακοῆς κειμήλιον, ταπεινώσεως ἄγαλμα καὶ εὐσεβείας μυροθήκη. Ἐπισκεψάμενος εἶτα τὸ Σίναιον Ὄρος καὶ τὴν μονὴν Στομίου παρὰ τὴν Κόνιτσαν, ἔνθα Θεῷ ἀσκητικοῖς τρόποις εὐηρέστησεν, ἐπανέκαμψεν εἰς Ἄθωνα, ὃν καθηγίασε πόνοις ἀσκήσεως ἀσιγήτοις καὶ δακρύων χεύμασι. Διορατικὸς ὢν καὶ ἐνάρετος ἠξιώθη προορᾶν τὰ ἐσόμενα καὶ γιγνώσκειν τὰ ἐνδοτέρα τῆς καρδίας τῶν αὐτῷ προσιόντων. Ἀνέπαυσε τοῖς θεοσοφοῖς αὐτοῦ διδάγμασι καὶ προτροπαῖς πλήθη μερόπων καὶ ἀλείπτης μοναζουσῶν ἐχρημάτισε πρὸς βίον κρείττονα. Πνευματικῶς ἐποπτεύσας τῇ του Θεολόγου μάνδρα ἐν Σουρωτὴ Θεσσαλονίκης, ἐν αὐτῇ ταὸ ζῆν ἐξεμέτρησε καὶ παντιμῷς ἐτάφη μετὰ πολυχρόνιον ἀνιάτον ἀσθένειαν, ἣν γηθόμενος ἐβάστασε κατὰ τὴν αὐτοῦ ἐπιθυμίαν, ἰατρεύσας ἀσθενῆ τινα ἐξ αὐτῆς πάσχοντα καὶ μετενεγκὼν εἰς σαυτὸν τὴν νόσον. Καὶ ζῶν καὶ μετὰ πότμον πλήθη θαυμάτων ἐπετέλεσε· διὸ καὶ ἀξιόχρεως τιμᾶται παρὰ πάντων τῶν Ὀρθοδόξων ὡς ταμεῖον δωρεῶν θείας χάριτος ἀδάπανον.

**Τ**αῖς αὐτοῦ ἁγίαις πρεσβείας, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Κανὼν πρῶτος.**

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

**Ἀ**ντιτάσσεται,
ὑπερηφάνοις Κύριος,
καὶ χάριν δίδωσι,
τοῖς ταπεινοῖς ἀσκητά,
Παΐσιε ἅπασιν,
ἀνθρώποις ἔλεγες,
ὡς Ἰάκωβος,
ὁ θεῖος φάσκει Ὅσιε,

ταπεινώσεως πυξίον.
Ἱερώτατε,
ὅτι σαφῶς χωρίζουσιν,
ἀπὸ τοῦ Κτίσαντος,
οἱ σκολιοὶ λογισμοί,
γιγνώσκων Παΐσιε,
Αὐτῷ προσήγγιζες,
ἐν τῷ βίῳ σου,
δι' ἀγαθῷ μακάριε,
λογισμῶν καὶ θεαρέστων.

Στῦλος πέφηνας,
σοφίας ἀῤῥαγέστατος,
Θεοῦ Παΐσιε,
ἀρτίως καὶ διαυγής,
εἰκὼν διακρίσεως,
διὸ ἀνέπαυες,
τοὺς προστρέχοντας,
πανευλαβῶς τῇ κέλλῃ σου,
ἐκζητοῦντας τὴν εὐχήν σου.

**Θεοτοκίον.**

Ἰσχυρότατον,
κατὰ τοῦ πολεμήτορος,
Θεογεννήτρια,
Παρθένε ὅπλον ἡμεῖς,
ἐν μάχαις κατέχομεν,
τὴν μεσιτείαν σου,
πρὸς τὸν πάνσεπτον,
Υἱόν σου καὶ Θεάνθρωπον,
Ὃν ἐκύησας ἀφράστως.

**Κανὼν δεύτερος.**

**Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.**

Γάνυται Ἄθωνος τὸ Ὄρος,
ὁ ἡγίασας Παΐσιε ἀσκήσει,
καὶ μονὴ τοῦ Χριστοῦ,
ἐπιστηθίου φίλου,
ὡς ὄλβον θεῖον ἔχουσα,
τὸν πανίερον σοῦ τάφον.

Ἵνα προφθάσῃς βοηθῆσαι,
αἰτουμένους ἀρωγήν σου τὴν ταχεῖαν,
τὴν στιγμὴν τὴν αὐτήν,
εἰς διαφόρους τόπους,
ἐνεφανίζου Ὅσιε,
τοὺς ἱκέτας σου ἀρήγων.

Ὤφθης ἀνάπλεως ἀρτίως,
θείου ἔρωτος Παΐσιε τρισμάκαρ,
καὶ ὁ βίος ὁ σός, ἀέναος ὑπῆρχε,
δοξολογία Ὅσιε,
πρὸς Θεὸν τὸν Παντεπόπτην.

**Θεοτοκίον.**

Νύκτα παθών μου δυσφορήτων,
διασκέδασον φωτὶ τῆς χάριτός σου,
Θεοτόκε ἁγνή,
καὶ ἦμαρ σωτηρίας,
ἀνάτειλόν μοι δέομαι,
Παϊσίου ἱκεσίαις.

**Κανὼν πρῶτος.**

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Οἶκος προσευχῆς ἀδιαλείπτου,
ὀφθεὶς ἠξιώθης τοῖς βλεφάροις σου,
τοῖς ἰδίοις Κύριον,
τὸν Θεὸν θεάσασθαι,
τὴν Παναγίαν Δέσποιναν,
σὸν θεῖον Ἄγγελον,
τὸν Λουκιλιανὸν τὸν ἀνδρεῖον,
καὶ τὴν Εὐφημίαν,
Παΐσιε τὴν θείαν.

Νοῦν τὸν σὸν καθαρὰς τῇ ἀόκνῳ,
εὐχῇ τὸ σαρκίον σου παλαίσμασι,
θεαρέστοις Ὅσιε,
καὶ ψυχὴν ἀπλέτῳ σοῦ,
ἀγάπῃ ἀπεμάκρυνας,

δεινὴν ἐμπάθειαν,
ὡς σὺν τὸν καταστρέφοντα χλαῖναν,
τῆς ψυχῆς πατέρων,
Παΐσιε, φαιδρότης.

Μέγιστος Παΐσιε ἀρτίως,
ἐπώφθης διδάσκαλος καὶ τάχιστος,
ἰατρὸς φαρμάκοις σου,
διδαχῶν ἰώμενος,
τὰς ἀσθενούσας Ὅσιε,
καρδίας ὅσων σοί,
προσέτρεχον ἐν Ὄρει Ἁγίῳ,
καὶ τὴν πρὸς τὸν Κτίστην,
εὐχήν σου ἐπεζήτουν.

**Θεοτοκίον.**

Εὔλαλον ἀνέδειξας στρουθίον,
πανάμωμε Θεομῆτορ ἐν τῷ κήπῳ σου,
τὸν σοφὸν Παΐσιον,
οὗ τὰ θεῖα ῥήματα,
ἐν τῇ ἡμῶν βαστάζοντες,
καρδίᾳ Δέσποινα,
ὡς ὄλβον ἱερὸν σὲ ὑμνοῦμεν,
εἰς τοὺς ἀπεράντους,
αἰῶνας γηθοσύνως.

**Κανὼν δεύτερος.**

**Ὠδὴ η´. Τὸν ἐν ὄρει ἁγίῳ.**

Μιμητὴς παλαισμάτων Γεωργίου,
τοῦ ἐν Ἄθῳ λαμπρῶς ἀσκήσαντος ἀρτίως,
καὶ Ἀρσενίου νέου τοῦ παμμάκαρος,
ὤφθης θεοφόρε,
ζηλωτὰ ὁσίων,
Παΐσιε, φωσφόρων.

Ἐνεδύσω πολύτιμον χιτῶνα,
ἀφθαρσίας σοφὲ ὡς ἀφανῶς ἀσκήσας,
καὶ ἀγαπήσας παιδιόθεν Ὅσιε,
πάντας τοὺς ἁγίους,
ὧνπερ ἐμιμήσω,

Παΐσιε, τὸν βίον.

Λογισμῷ ἀσκητὰ ἀπεριτρέπτω,
Ἀθωνίτα κλεινὲ ἐμάκρυνας τοῦ κόσμου,
καὶ τὸν Σταυρὸν Κυρίου αἴρων Ὅσιε,
ἔλαμψας ἐν κόσμῳ,
σῇ ὑπερκοσμίῳ,
Παΐσιε ἀγάπη.

**Θεοτοκίον.**

Παρθενίας κεκοσμημένη κάλλει,
καὶ ὑπὲρ ἀστραπὰς ἐκλάμπουσα ἡλίου,
δικαιοσύνης Ἥλιον ἐκύησας,
τὸν ἡμῶν Παρθένε,
λύοντα τὸν ζόφον,
παθῶν τῶν χαμαίζηλων.

**Κανὼν πρῶτος.**

**Ὠδὴ θ΄. Ἅπας γηγενής.**

Λάμψας ὡς φωστήρ,
ἀρτίως τοῖς σύμπασιν,
ἀγέλας ηὔγασας,
μοναστῶν Παΐσιε,
τῶν σῶν ἀγώνων,
φαιδραῖς λαμπρότησι,
καὶ τῶν πιστῶν τὰ τάγματα,
τῶν προστρεχόντων σοι·
ὅθεν πάντες,
ὥσπερ χρυσαυγέστατον,
σὲ τιμῶμεν ἀστέρα νεοφωτον.

Πάτερ ἱερέ,
ἀμέμπτως τὸν βίον σου,
ἐν γῇ διήνυσας,
καὶ λαμπάδα ἄσβεστον,
ἀσκήσει ἄκρα ψυχῆς ἐτήρησας·
διὸ καὶ χαίρων ἔδραμες,
πρὸς τὴν οὐράνιον,
πόλιν ἔνθα,
πόνων σου δρεπόμενος,

ἀμοιβὰς ἐπαγάλλη Παΐσιε.

Ὡς ζωαρχικοῦ,
τοῦ Πνεύματος ὄργανον,
σεπτὸν Παΐσιε,
πόθῳ εὐφημοῦμεν σέ,
Ἁγιωνύμου,
τοῦ Ὄρους καύχημα,
καὶ τάφον ἀσπαζόμενοι,
σὸν θαυματόβρυτον,
Θεολόγου,
ἐν τῇ μάνδρᾳ Ὅσιε,
τὰς εὐχάς σου πρὸς Κτίστην αἰτούμεθα.

**Θεοτοκίον.**

Χύμά σοι ἁγνή,
προνοίας πρὸς ἀπαντᾷς,
ἀνθρώπους δέδοται,
ὥσπερ Θεομήτορι,
ἁγιωτάτη καὶ κρήνη χάριτος·
διὸ τῆς προστασίας σου,
τῇ σκέπῃ σπεύδοντες,
καθ' ἑκάστην,
οἱ πιστοὶ λαμβάνομεν,
ποταμοὺς δωρεῶν ἀειῤῥόων σου.

## Κανὼν δεύτερος.

**Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.**

Ὡς ἄγγελος βιώσας ἐπὶ τῆς γῆς,
Μιχαὴλ Ταξιάρχην ἑώρακας,
σοῖς ὀφθαλμοῖς,
Ἄνναν σὺν δικαίῳ Ἰωακείμ,
Αἰκατερίναν πάνσοφον,
τὸν Παντελεήμονα τὸν κλυτόν,
Βαρβάραν Εὐφημίαν,
Παΐσιε θέοφρον,
καὶ πληθὺν τῶν φιλτάτων ἁγίων σοῦ.

Χρηστότητος στρουθίον καὶ ἀηδῶν,
ἐγκρατείας εὐχῆς καὶ ἀσκήσεως,

θεοφιλοῦς,
ἅπαντας καθήδυνας συμβουλαῖς,
ἐπὶ θεμάτων ὄλβιε,
παγκοσμίων ἅμα ἀτομικών,
Παΐσιε ἀρτίως,
καὶ ἐθνικῶν ὢν λύτης,
προβλημάτων ὑπῆρχες ταχύτατος.

Μὴ παύσῃ τὸν Παντάνακτα δυσωπών,
Ἰσαὰκ τοῦ Ἀββᾶ τῆς ἀσκήσεως,
ἐκμιμητά,
Ὅσιε Παΐσιε ἀκρέμων,
τοῦ θείου ὄντως ἔρωτος,
ὁ ἐν οὐρανίῳ καὶ παμφαεῖ,
ἀσκήσας ἀτμοσφαῖρα,
ὑπὲρ τῶν σὲ τιμώντων,
μελισταγέσιν ὕμνοις πάντοτε.

**Θεοτοκίον.**

Μνημονεῦε Πανάχραντε ἐκτενῶς,
τῶν πιστῶς προστρεχόντων τῇ σκέπῃ σου,
καὶ σὸν Υἱόν,
νῦν δοξολογούντων φαιδραῖς ᾠδαῖς,
τὴν μνήμην δὲ τὴν πάμφωτον,
Παϊσίου ἔμφρονος ἀσκητοῦ,
λαμπρύναντος τὸν Ἄθω,
ἀρτίως ἐκτελούντων,
θεοχαρίτωτε Παντάνασσα.

**Ἐξαποστειλαριον. Γυναῖκες ἀκουτίσθητε.**

Μαρμαρυγαῖς ἀσκήσεως,
τὸν ἄρτι ἐξαστράψαντα,
ἐν τῷ Ἁγίῳ τῷ Ὄρει,
καὶ θείας χάριτος φέγγει,
πιστοὺς τὸν καταυγάσαντα,
τιμήσωμεν Παΐσιον,
ἀναβοῶντες σκόρπισον,
ἀχλὺν ἡμῶν ἁμαρτίας,
τῶν ἐκτελούντων σὴν μνήμην.

**Θεοτοκίον.**

Ἁγίου Ὄρους ἔφορε,
καὶ οἰκονόμε ἄγρυπνε,
Θεογεννῆτορ Παρθένε,
τοῦ Παϊσίου πρεσβείαις,
τοῦ ἄνθους τοῦ λειμῶνός σου,
τοῦ μυριστοῦ διάσωσον,
ἀπὸ κινδύνων ἅπαντας,
τοὺς μεγαλύνοντας πόθῳ,
σὲ εἰς αἰῶνας αἰώνων.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια·**

**Ἦχος πλ. δ´. Τί ὑμᾶς καλέσωμεν, Ἅγιοι.**

Τὶ σὲ ὀνομάσω, Παΐσιε;
Ταπεινώσεως πυξίον,
ὑποφήτην μοναστῶν,
ἐγρηγόρσεως δοχεῖον,
διαυγὲς καὶ καθαρόν,
σοφίας ὕδωρ πᾶσι διειδέστατον,
ἀσόφῳ δαψιλῶς κιρνῶν ἀείποτε,
λαῷ διψῶντι τοὺς λόγους σου,
εὐχύμους δέξασθαι· ὅθεν σοι,
κραυγάζομεν· Χαῖρε, Ἄθωνος σέμνωμα.

Τὶ σὲ ὀνομάσω, Παΐσιε;
Ἐγκρατείας μυροθήκην,
ἀσιτείας πλησμονήν,
ἀπαθείας θείαν στήλην,
ἀσιγήτου ἐραστήν,
θέοφρον προσευχῆς καὶ οἰκητήριον,
παντοίων ἀρετῶν διὸ σὲ πάντοτε,
ὥσπερ ἰσάγγελον ἄνθρωπον,
τιμῶν βοῶ σοι θεσπέσιε,
ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὶ σὲ ὀνομάσω, Παΐσιε;
Ἄθω εὔλαλον κινυράν,
Θεολόγου τῆς μονῆς,

θησαυρὸν καὶ θείαν λύραν,
ἀγωγῆς μοναδικῆς·
σαμβύκην θείας γνώσεως γλυκύφθογγον,
καὶ ἅρπαν βίου κρείττονος καλλίχορδον·
ὡς γὰρ φανὸς νεοπύρσευτος,
τῆς ἐν Χριστῷ τελειότητος,
ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὶ σὲ ὀνομάσω, Παΐσιε;
Παναγούδας τῆς καλύβης
ὑψιπέτην οἰκιστήν,
εὖχος Ὄρους τοῦ Ἁγίου,
φυλακῆς τὸν τηρητήν,
τῶν πέντε τοῦ νοὸς θυρίδων ἄγρυπνον,
καὶ σκεῦος Παρακλήτου χρυσοποίκιλτον·
σῦ γὰρ προέγνως τὰ μέλλοντα,
καὶ πρὸς ἀγήρω κατηύθυνας,
βιώσεως τοὺς πιστῶς σοι προστρέχοντας.

Σθένει Παρακλήτου Παΐσιε,
ἀνεδείχθης μετὰ πότμον,
θαυμασίων αὐτουργός,
καὶ ἀδάπανον τῷ ὄντι,
ἰατρεῖον τῶν πιστῶν·
ἐν κλίνῃ,
ἐπεσκέψω γὰρ θαυμάσιε,
νοσοῦντα χαλεπῶς ἐξ ἀτυχήματος,
καὶ ἐκ θανάτου διέσωσας,
αὐτὸν θερμαῖς σοῦ ἐντεύξεσι,
πρὸς Κύριον τὸν Σωτηρὰ τῆς κτίσεως.

Πάντων τῶν τιμώντων τὴν μνήμην σου,
παραστάτης θεῖος πέλεις,
θεοφόρε ἀσκητά,
καὶ τῶν μὴ εὐμοιρησάντων,
γνῶναι σοῦ τὴν βιοτήν,
ὑπάρχεις τὴν ὁσίαν πάτερ πρόμαχος,
καὶ ῥύστης,
καὶ ἀκέστωρ ἐνθεώτατος·
πολλοὺς γὰρ σὺ ἐθεράπευσας,
ταχὺ μετὰ τὴν σὴν κοίμησιν,

Παΐσιε συνεργεῖα τοῦ Πνεύματος.

**Δόξα. Ἦχος πλ. α΄.**

Ὅσιε πάτερ,
πρὸς τὰ ἄνω παιδιόθεν ἐπειγόμενος,
ἰσαγγέλῳ πολιτεία,
καὶ ἀσκήσει ἀόκνῳ ἥνυσας τὸν βίον σου·
ἠξιώθης οὖν γενέσθαι,
οἶκος χρυσοτευκτος τοῦ Παναγίου Πνεύματος,
περισκεπῶν σῇ χάριτι εὐσεβούντων τὰ συστήματα·
καὶ νῦν, Παΐσιε πάνσοφε, Χριστῷ συναγαλλόμενος,
κατάπεμψον ἡμῖν εὐχὰς τὰς παντίμους σου,
καὶ σῶσον λιταῖς σου σοῦς πρόσφυγας.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,
καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος,
τὴν πόλιν τὴν ἄσειστον,
τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν,
καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

****************************************

# ΕΝ Τῌ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

**Στίχ.** Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ ἡμῖν;

**Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀναγνωσμα.**
**(Κεφ. ζ΄ : 22 - στ΄: 2)**

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ

δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν Πνεύματι, Πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

**Εὐαγγέλιον κατὰ Λουκᾶν. (Κεφ. ιγ´ 10 - 17 ).**

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον.**

**Χ**αίροις, στυλοβάτης ὑπακοῆς,
ἀκραιφνοῦς ἀγάπης,
ἐγκρατείας καὶ προσευχῆς,
χαίροις ἀσκουμένων,
ἐν Ἄθω κοσμιότης,
ἀρτίως ὁ ἀσκήσει
λάμψας, Παΐσιε.

**Δίστιχον.**

Ὅπου θέλει πνεῖ, Παΐσιε, εἶπάς μοι,
Θεοῦ Πνεῦμα, σοὶ σπεύδοντι Χαραλάμπει.

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι Δ Ο Ξ Α**

**Τ Ω Μ Ο Ν Ω Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω Η Μ Ω Ν**

www.tezaurliturgic.ro

ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΡΤΙΦΑΝΩΣ ΕΚΛΑΜΨΑΝΤΟΣ

## ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΠΑΪΣΙΟΝ ΤΟΝ ΑΓΙΟΡΕΙΤΗΝ

Ἀθῆναι 1996

# Κανὼν Παρακλητικὸς εἰς τὸν ἀρτιφανῶς ἐκλάμψαντα Ὅσιον καὶ Θεοφόρον πατέρα ἡμῶν Παΐσιον τὸν Ἁγιορείτην.

**Ἱερεύς:** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Ψαλμὸς ρμβ´ (142)

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου Κύριε ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι Κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου Κύριε πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός σου Κύριε ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ. α΄.** Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ. β΄.** Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς,

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ. γ΄.** Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Ἦχος δ΄. Τῇ Θεοτόκῳ ἐκτενῶς.**

Τῷ φρυκτωρήσαντι ἀρτίως τὰ σύμπαντα,
χαρίτων θείων ταῖς ἀκτῖσι προσπέσωμεν,
ἐν σκότει οἱ καθεύδοντες παθῶν ζοφερῶν,
κράζοντες· Παΐσιε, ἀσκητῶν ὡραιότης,
Ἄθωνος ἀγλάϊσμα καὶ προπύργιον μέγα
τῶν εὐσεβῶν, μὴ παύσῃ ἐκτενῶς,
Χριστῷ πρεσβεύων ὑπὲρ τῶν τιμώντων σέ.

**Δόξα. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι·
εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,

τὶς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;
Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

## Ψαλμὸς ν΄ (50)

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντὸς.

Σοὶ μόνω ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιόν μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα, τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·**
«Παΐσιε, νέε ἀσκητά, πρεσβεῦε ὑπὲρ ἡμῶν.Χ»

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Παίσιε, ἄστρον νεολαμπές,
Χριστοῦ Ἐκκλησίας,
ἐν τῷ Ἄθω ἀρτιφανώς,
ὁ λάμψας ἀσκήσεως βολίσιν,
ὑπὲρ ἡμῶν τὸν Χριστὸν καθικέτευε.

Ἀγάπης θεόδοτε θησαυρέ,
Παΐσιε μάκαρ,
Ἀθωνίτα πανευκλεές,
ἀγάπης πρὸς πέλας σοῦς ἱκέτας,
καὶ πρὸς Θεὸν δεῖξον τείχη ἀκράδαντα.

Ἰκάνωσον, πάτερ, τυχεῖν ἡμᾶς,
τοῦ θείου ἐλέους
τοὺς τιμῶντας πανευλαβῶς,
Παΐσιε, πόνους τοὺς ἀόκνους,
οὓς ἔτλης ἄρτι πόθων τὴν τελείωσιν.

**Θεοτοκίον.**

Σωτῆρος τοῦ γένους τῶν χοϊκὼν
ὑπέρλαμπρε Μῆτερ,
πανυπέρτιμε Μαριάμ,
ὁδοὺς σωτηρίας δεῖξον τάχος,

τῷ σῷ οἰκέτῃ καὶ σῶσόν με δέομαι.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Ἰσαγγέλως βιώσας,
ἐν τοῖς δρυμοῖς Ἄθωνος,
ἄρτι καὶ μυρίσας χαρίτων,
θείων σοῦ ἅπαντας,
ταῖς ἡδυπνόοις ὀδμαῖς,
τὴν δυσωδίαν παθῶν μου,
καθαρόν, Παΐσιε,
ταῖς ἱκεσίαις σου.

Εὐσυμπάθητε πάτερ,
τῶν μοναστῶν σέμνωμα,
ὁ πιστῶν χορείας φαιδρύνας,
θείοις σοῦ ῥήμασιν,
ἀξίωσόν με τυχεῖν,
τοῦ ἀμετρήτου ἐλέους,
τοῦ Θεοῦ, Παΐσιε,
καὶ Παντοκράτορος.

Νεοπύρσευτον σέλας,
τοῦ νοητοῦ, ὅσιε
πάτερ, στερεώματος κόσμου
πλήθη ἐφώτισας,
πεζοπορούντα σεμνῶς
πρὸς Παναγούδης κελλίον,
ἵνα εὐλογίας σου
φέγγους πλησθήσωνται.

**Θεοτοκίον.**

Ἐντολῶν με τῶν θείων,
τὸν σὲ πιστῶς, Δέσποινα,
ἀνυμνολογούντα ἐργάτην,
δεῖξον ἀνύστακτον,
ἵνα γεέννης πυρός,
ταῖς πρὸς Υἱόν σου πρεσβείαις,
ταῖς σεπταῖς ῥυσθήσωμαι,
Θεογεννήτρια.

Διανοιξον,
τοὺς ὀφθαλμοὺς τῆς καρδίας ἡμῶν τοῦ βλέπειν,
καὶ ἀπαύστως ἐπιζητεῖν ἐν πόλῳ τὰ ἄῤῥευστα,
Παΐσιε, σύσκηνε τῶν ἀγγέλων.

Ἐπιβλέψον,
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**

**Ἦχος β΄. Πρεσβεία θερμή.**

Βοήθει πιστοῖς ὑψόθεν τοῖς προστρέχουσι,
τῇ σῇ ἀρωγῇ ἐν κλύδωσι, Παΐσιε,
καὶ πιστῶς ἀνακράζουσιν·
ἴσθι πάντων προστάτης καὶ πρόμαχος,
τῶν σὲ τιμώντων ὕμνοις μελίχροις,
νεότευκτον οἶκον ὡς χρηστότητος.

**Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Ἐγκρατείας καμάτοις σου,
δωρεῶν ἐπλήσθης τοῦ θείου Πνεύματος,
χαριτόβρυτε Παΐσιε,
θλιβομένων πάντων παραμύθιον.

Ἀκτησία καὶ δάκρυσιν,
ἔλεος προσείλκυσας τοῦ Παντάνακτος,
Οὐ εὐχαῖς σου νῦν, Παΐσιε,
πέμψον καὶ ἡμῖν τὸ μέγα ἔλεος.

Συμπαθείας ἀκρώρεια,
ὁ μετὰ κλαιόντων ἀεὶ θλιβόμενος,
κλῖνον οὖς ἡμῖν εὐήκοον
τοῖς σοὶ καταφεύγουσι, Παΐσιε.

**Θεοτοκίον.**

Κυβερνῆτις μοι, Δέσποινα,
τῷ ἐν τῷ πελάγει νῦν θαλαττεύοντι,

πειρασμῶν γενοῦ καὶ θλίψεων,
ζοφερῶν τοῦ βίου μου καὶ σῶσόν με.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ἤσχυνας ἐχθρόν,
τὸν παμβέβηλον ἀγῶσί σου,
θεαρέστοις ἐν ἐσχάτοις τοῖς καιροῖς,
πρεσβευτὰ ἡμῶν θερμοτατε, Παΐσιε.

Τλήμονες βροτοί,
οἱ μὴ γνῶντες σέ, Παΐσιε,
καὶ μηδέποτε λαβόντες σὴν εὐχήν,
τὴν ἀνοίγουσαν ὁδὸν αὐτοῖς θεώσεως.

Ἄγγελον φωτός,
ὁ σχὼν πάτερ, ἑστιάτορα,
ὁμοζήλους πολιτείας τῆς αὐτοῦ,
δεῖξον πάντας τοὺς τιμῶντας σέ, Παΐσιε.

**Θεοτοκίον.**

Πάντα τῆς σαρκός,
τὰ κινήματα ὑπόταξον,
τῷ νοΐ τῶν οἰκετῶν σου, ἀγαθή,
τὰς ἡμῶν αἰσθήσεις πάσας ἀσφαλίζουσα.

**Ὠδὴ ϛ΄. Τὴν δέησιν.**

Ῥωννύμενοι σαῖς εὐχαῖς, Παΐσιε,
πρὸς τὸν Κύριον τῆς δόξης βοῶμεν·
ἐγκρατευτὰ Ἀθωνίτα, μὴ παύσῃ,
ὑπὲρ ἡμῶν δυσωπῶν τὸν Θεάνθρωπον
τὸν ἀναδείξαντα φανόν,
διοράσεως σὲ τηλαυγέστατον.

Ἐπίκουρος πάσης περιστάσεως,
καὶ ἀνάγκης ἄρτι τάχιστος ὤφθης,
τοὺς προσφυγάς σου ῥυόμενος, πάτερ,
ὡς συμπαθέστατος φύλαξ, Παΐσιε,
οὓς περιφρούρει, ἀσκητά,
ἀνυποίστων κινδύνων ἀπήμονας.

Στερέωσον τὰς καρδίας, ὅσιε,
εἰς τὸ θέλημα Χριστοῦ τοῦ Σωτῆρος,
τῶν σὲ τιμώντων, Παΐσιε μάκαρ,
ὡς στυλοβάτην νεότευκτον πίστεως,
θεμέλιον ὑπακοῆς,
καὶ κρηπῖδα διπλῆς ἀγαπήσεως.

**Θεοτοκίον.**

Βοήθησον τοὺς ἐν ὥρᾳ θλίψεων,
σὲ καλοῦντας εὐλαβῶς, Θεοτόκε,
καὶ εἰς χαρὰν τρέψον πάντων τὴν λύπην,
εὐλογημένη, πανύμνητε Δέσποινα,
τῇ ῥάβδῳ σου τῶν πρεσβειῶν,
πρὸς Ὃν ἔτεκες Κτίστην καὶ Κύριον.

Διανοιξον,
τοὺς ὀφθαλμοὺς τῆς καρδίας ἡμῶν τοῦ βλέπειν
καὶ ἀπαύστως ἐπιζητεῖν ἐν πόλῳ τὰ ἄῤῥευστα,
Παΐσιε, σύσκηνε τῶν ἀγγέλων.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Νεοφανέντα τῶν πάλαι ἐφάμιλλον,
πατέρων πάντες Παΐσιον ὅσιον,
εὐῶδες ὀσφράδιον Ἄθωνος,
ἐγκωμιάσωμεν κράζοντες· πρεσβεῦε
Χριστῷ ὑπὲρ τῶν τιμώντων τὴν μνήμην σου.

**Προκείμενον.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στιχ.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

## Ἐκ τοῦ κατὰ Ματθαῖον
## ια´ 27 - 30

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

**Δόξα.** Ταῖς του Σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξαλεῖψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξαλεῖψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

**Προσόμοιον.**

**Στιχ.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξαλεῖψον τὸ ἀνόμημά μου.

**Ἦχος πλ. β´. Ὅλην ἀποθέμενοι.**

Ὅσιε Παΐσιε,
τῶν ἀρετῶν μυροθήκη,
ἔμπνουν στηλογράφημα,
νήψεως καὶ κόσμημα,
ταπεινώσεως,
ἄρτι ἐφώτισας,
εὐσεβῶν τὰ πλήθη,
διοράσεως ἀκτῖσί σου,
καὶ εὐηρέστησας τῷ Χριστῷ ἀσκήσει συντόνῳ σοῦ·
διὸ καὶ χάριν εἴληφας,
δυσωπεῖν ὑπὲρ τῶν τιμώντων σέ,
τὸν Σωτηρὰ πάντων,
Χριστὸν καὶ προσκυνούντων εὐλαβῶς,
τὸν ἀναβλύζοντα νάματα,
θαυμασίων τάφον σου.

**Ὁ ἱερεύς:** Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἐραστὴς θείου κάλλους,
ἐκ νεότητος πέλων,
σοφὲ Παΐσιε,
καὶ ζηλωτῆς ἀγγέλων,
φωτολαμπῶν ὑπάρχων,
ἰσαγγέλως ἐβίωσας,
διδάσκων πάντας ἡμᾶς,
ἀκολουθεῖν σαῖς τρίβοις.

Ὑπεροπτὰ γηΐνων,
καὶ φθαρτῶν μὴ παρίδῃς,
τὰς ἱκεσίας μου,
Παΐσιε παμμάκαρ,
ἀλλὰ Χριστῷ τῷ μόνῳ,
φιλανθρώπῳ προσάγαγε,
Θεῷ αὐτὰς ἀσκητά,
ὡς ἔχων παῤῥησίαν.

Ἐποπτεύων μὴ παύσῃ,
οὐρανόθεν τοὺς πίστει,
σοὶ καταφεύγοντας,
καὶ θείαν ἀρωγήν σου,
ταχὺ προσδεχομένους,
θεοφόρε Παΐσιε,
χειραγωγὶ πρὸς ζωήν,
ἀγήρω σῶν προσφύγων.

**Θεοτοκίον.**

Ὑπερύμνητε Κόρη,
Παϊσίου πρεσβείαις,
τοῦ ὡραΐσαντος,
τὸν σὸν λειμῶνα ἄρτι,
ἀσκήσεσι συντόνοις,
καὶ πιστοὺς κατευφράναντος,
αὐτοῦ χαρίτων ὀδμαῖς,
ἐλέησον τὸν κόσμον.

**Ὠδὴ η´. Τὸν Βασιλέα.**

Ποδηγετήσας,
πιστοὺς πρὸς πόλιν τὴν ἄνω,
συμβουλῶν σου Παΐσιε πλήθει,
ὤφθης Παρακλήτου,
χαρίτων κολυμβήθρα.

Ἐλέους βρύσις,
καὶ συμπαθείας χειμάῤῥους,
πέλων πάτερ Παΐσιε κόσμου,
ἄρδευσον καρδίας,
τῶν σῶν προσφύγων χέρσους.

Ῥυσαὶ ἱκέτας,
τοὺς σοῦς Παΐσιε πάτερ,
κατακρίσεως πάσης καὶ σκότους,
αἰωνίου λύχνε,
ἀείφωτε ἀγάπης.

**Θεοτοκίον.**

Ἡ τὸν Σωτηρά,
Χριστὸν ἀφράστως τεκοῦσα,
Θεοτόκε ἁγνὴ σῶσον πάντας,
μεγαλύνοντας σέ,
πρεσβείαις σου ἀόκνοις.

**Ὠδὴ θ´. Κυρίως Θεοτόκον.**

Μεσίτην σὲ πρὸς Κτίστην,
εὐμενῆ πλουτοῦντες,
καὶ τὸν σὸν τάφον πιστῶς ἀσπαζόμενοι,
βοῶμεν· Χαῖρε, ὁσίων φωστήρ, Παΐσιε.

Ὠδήγησας σοῖς λόγοις,
τὸν λαὸν Κυρίου,
πρὸς σωτηρίας σκηνώσεις, Παΐσιε,
ἰθύντωρ θεῖος ἀρτίως πιστῶν γενόμενος.

Νεοφωτον ὡς ἄστρον,
ἀρετῆς ἐνθέου,

σὲ ἀνυμνοῦντες βοῶμεν· Παΐσιε,
τῶν ἱκετῶν σου ἀκέστωρ γενοῦ ταχύτατος.

**Θεοτοκίον.**

Χαρίτων πλῆσον πάντας,
θεϊκῶν τοὺς πόθῳ,
σὲ μεγαλύνοντας, Μῆτερ θεονυμφε,
τοῦ Παϊσίου πρεσβείαις,
Κυρία Δέσποινα.

**Ἄξιόν ἐστι ....καὶ τὰ παρόντα**

**Μεγαλυνάρια.**

Χαίροις, Ἐκκλησίας νεολαμπές,
ἄστρον τὸ ἐν Ἄθω,
ἑξαστράψαν διαγωγῇ,
ἀκραιφνεῖ ἐν χρόνοις,
ἡμῶν τοῖς δυσχειμέροις,
Παΐσιε, ὁσίων
ἔμπνουν θησαύρισμα.

Ὡς οἰακοστρόφος ψυχῶν στεῤῥός,
ἴθυνας πρὸς ὅρμον,
ἀκλυδώνιστον ἀρετῶν,
τοὺς ἐν βίου ζάλαις,
πανδεινῶς ποντουμένους,
καὶ καταφεύγοντας σοί,
πάτερ Παΐσιε.

Δέχου τὰς αἰτήσεις τῶν εὐσεβῶς,
νῦν ἀσπαζομένων,
πνευματέμφορε ἀσκητά,
τάφον σου τὸν θεῖον,
καὶ προστασίαν τάχος,
τὴν σὴν ἐκδεχομένων,
μάκαρ Παΐσιε.

Τὸν φωστῆρα πάντες τὸν φαεινόν,
ἐν Ἁγίῳ Ὄρει,
ἐγκρατείᾳ καὶ προσευχῇ,

λάμψαντα ἀρτίως,
Παΐσιον τὸν θεῖον,
μελισταγέσιν ὕμνοις,
πάντες τιμήσωμεν.

Τῶν θαυμάτων πάντες τὸν ποταμόν,
καὶ ἀγάπης κέρας,
πρὸς πλησίον καὶ πρὸς Θεόν,
τὸν τὰς ἀσθενείας,
βαστάζοντα τῶν ἄλλων,
τιμήσωμεν ἀσμένως,
θεῖον Παΐσιον.

Στῦλον ἀδιάσειστον προσευχῆς,
τεῖχος συμπαθείας,
καὶ κρηπῖδα ὑπακοῆς,
τὸν ἐν Ἄθω ἄρτι,
ἐκλάμψαντα τοῖς ὕμνων,
Παΐσιον παντερπνοῖς,
ἄνθεσι στέψωμεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τὸν ἐν Ὄρει Ἁγίῳ ἀρτίως λάμψαντα,
ἀδιαλείπτῳ ἀσκήσει,
καὶ νοερᾷ προσευχῇ,
ἐπαινέσωμεν πιστοί, σεπτὸν Παΐσιον,
ὅτι ὡς ῥόδον εὐανθές,
κατεμύρισε ψυχάς,
τοῖς λόγοις τοῖς θεοφθόγγοις·
καὶ νῦν τὰ κρείττονα νέμει,
αὐτοῦ λιταῖς τοῖς καταφεύγουσιν.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Δεῦτε, ἀρετῆς τὸν ζηλωτήν,
καὶ μοναδικῆς πολιτείας,
τὸν νεαυγὴ καὶ λαμπρόν,
νῦν φανὸν τιμήσωμεν,
αὐτοῦ μιμούμενοι,
τὴν ἀγάπην πρὸς ἅπαντας,
καὶ φρόνημα θεῖον,
κράζοντες· Παΐσιε,
Χριστὸν ἱκέτευε,
πέμψαι τοῖς πιστῶς σὲ ὑμνοῦσιν,
ὑετὸν ἐλέους πλουσίου,
καὶ ψεκάδας θείας ἐπιγνώσεως.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σοῦ,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον**

Ἀπέλασον νέφος ἐμῆς ἀθυμίας,
Παΐσιε μάκαρ, βόα Χαραλάμπης.